ʽἕδρῃ τε κρέασίν τ᾽ ἠδὲ πλείοις δεπάεσσιν᾽

ὥς φησιν ὁ τῶν Ἑλλήνων βασιλεύς, τὴν τάξιν ἐν πρώτῃ τιμῇ τιθέμενος. ἐπαινοῦμεν δὲ καὶ τὸν Ἀλκίνουν, ὅτι τὸν B ξένον ἱδρύει παρ᾽ αὐτόν (η 170)

ʽυἱὸν ἀναστήσας, ἀγαπήνορα Λαομέδοντα,
ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκεν.᾽

τὸ γὰρ εἰς τὴν τοῦ φιλουμένου χώραν καθίσαι τὸν ἱκέτην ἐπιδέξιον ἐμμελῶς καὶ φιλάνθρωπον. ἔστι δὲ καὶ παρὰ τοῖς θεοῖς διάκρισις τῶν τοιούτων· ὁ μὲν γὰρ Ποσειδῶν καίπερ ὕστατος εἰς τὴν ἐκκλησίαν παραγενόμενος (Υ 15) ʽἷζεν ἄρ᾽ ἐν μέσσοισιν,᾽ ὡς ταύτης αὐτῷ τῆς χώρας προσηκούσης. ἡ δ᾽ Ἀθηνᾶ φαίνεται τὸν πλησίον ἀεὶ τοῦ Διὸς τόπον ἐξαίρετον ἔχουσα· καὶ τοῦτο παρεμφαίνει μὲν ὁ ποιητὴς δι᾽ ὧν ἐπὶ τῆς Θέτιδός φησιν (Ω 100)

ʽἡ δ᾽ ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ᾽ Ἀθήνη,᾽ C

διαρρήδην δ᾽ ὁ Πίνδαρος λέγει (fr. 146)

ʽπῦρ πνέοντος ἅ τε κεραυνοῦ
ἄγχιστα ἡμένη.᾽

καίτοι φήσει Τίμων οὐ δεῖν ἀφαιρεῖσθαι τῶν ἄλλων ἑνὶ προσνέμοντα τὴν τιμήν. ὅπερ αὐτὸς ἔοικε ποιεῖν μᾶλλον· ἀφαιρεῖται γὰρ ὁ κοινὸν ποιῶν τὸ ἴδιον (ἴδιον δὲ τὸ κατ᾽ ἀξίαν ἑκάστου) καὶ ποιεῖ δρόμου καὶ σπουδῆς τὸ πρωτεῖον ἀρετῇ καὶ εὐγενείᾳ καὶ ἀρχῇ καὶ τοῖς τοιούτοις ὀφειλόμενον. καὶ τὸ λυπηρὸς εἶναι τοῖς κεκλημένοις φεύγειν δοκῶν μᾶλλον ἐφέλκεται καθ᾽ αὐτοῦ· λυπεῖ γὰρ ἀποστε-